**ΕΠΑΝΑΛΗΠΤΙΚΟ ΔΙΑΓΩΝΙΣΜΑ**
**Αρχαία Ελληνικά Α΄ Λυκείου**
**2ο τετράμηνο**

## Α. ΚΕΙΜΕΝΟ

1 Γνόντες δὲ οἱ Ἐπιδάμνιοι οὐδεμίαν σφίσιν ἀπὸ Κερκύρας
τιμωρίαν οὖσαν ἐν ἀπόρῳ εἴχοντο θέσθαι τὸ παρόν, καὶ πέμ-
ψαντες ἐς Δελφοὺς τὸν θεὸν ἐπήροντο εἰ παραδοῖεν Κορινθί-
οις τὴν πόλιν ὡς οἰκισταῖς καὶ τιμωρίαν τινὰ πειρῷντ᾽ ἀπ᾽
αὐτῶν ποιεῖσθαι. Ὁ δ᾽ αὐτοῖς ἀνεῖλε παραδοῦναι καὶ ἡγεμό-
2 νας ποιεῖσθαι. Ἐλθόντες δὲ οἱ Ἐπιδάμνιοι ἐς τὴν Κόρινθον
κατὰ τὸ μαντεῖον παρέδοσαν τὴν ἀποικίαν, τόν τε οἰκιστὴν
ἀποδεικνύντες σφῶν ἐκ Κορίνθου ὄντα καὶ τὸ χρηστήριον
δηλοῦντες, ἐδέοντό τε μὴ σφᾶς περιορᾶν φθειρομένους, ἀλλ᾽
3 ἐπαμῦναι. Κορίνθιοι δὲ κατά τε τὸ δίκαιον ὑπεδέξαντο τὴν
τιμωρίαν, νομίζοντες οὐχ ἧσσον ἑαυτῶν εἶναι τὴν ἀποικίαν ἢ
Κερκυραίων, ἅμα δὲ καὶ μίσει τῶν Κερκυραίων, ὅτι αὐτῶν
4 παρημέλουν ὄντες ἄποικοι· οὔτε γὰρ ἐν πανηγύρεσι ταῖς
κοιναῖς διδόντες γέρα τὰ νομιζόμενα οὔτε Κορινθίῳ ἀνδρὶ
προκαταρχόμενοι τῶν ἱερῶν ὥσπερ αἱ ἄλλαι ἀποικίαι, περι-
φρονοῦντες δὲ αὐτοὺς καὶ χρημάτων δυνάμει ὄντες κατ᾽
ἐκεῖνον τὸν χρόνον ὁμοῖα τοῖς Ἑλλήνων πλουσιωτάτοις καὶ
τῇ ἐς πόλεμον παρασκευῇ δυνατώτεροι, ναυτικῷ δὲ καὶ
πολὺ προὔχειν ἔστιν ὅτε ἐπαιρόμενοι καὶ κατὰ τὴν Φαιάκων
προενοίκησιν τῆς Κερκύρας κλέος ἐχόντων τὰ περὶ τὰς
ναῦς (ᾗ καὶ μᾶλλον ἐξηρτύοντο τὸ ναυτικὸν καὶ ἦσαν οὐκ
ἀδύνατοι· τριήρεις γὰρ εἴκοσι καὶ ἑκατὸν ὑπῆρχον αὐτοῖς
ὅτε ἤρχοντο πολεμεῖν).


Επιμέλεια: ΤΟΥΛΑ ΣΑΡΡΗ- ΤΑΣΟΣ ΣΑΡΡΗΣ

## B. ΠΑΡΑΤΗΡΗΣΕΙΣ

**1)** Να μεταφράσετε το απόσπασμα: **«Ἐλθόντες δε οἱ Ἐπιδάμνιοι… ὄντες ἄποικοι».**

**(30 μονάδες)**

**2)** Ποια επιχειρήματα επικαλέστηκαν οι Επιδάμνιοι για να πείσουν τους Κορίνθιους να αποδεχτούν την πρότασή τους;

**(10 μονάδες)**

**3)** Ποιες πράξεις των Κερκυραίων θεωρεί προσβλητικές η Κόρινθος;

**(10 μονάδες)**

**4)** Τι ήταν οι δημηγορίες;

**(10 μονάδες)**

**5)** Ποια προβλήματα στη χρονολόγηση των γεγονότων συνάντησε ο Θουκυδίδης και ποιον τρόπο χρονολόγησης εφάρμοσε;

**(10 μονάδες)**

**6)** Να δώσετε τις πτώσεις που ζητούνται:

**Α)πέμψαντες**: ονομαστική ενικού και δοτική πληθυντικού
**την πόλιν**: κλητική ενικού και γενική πληθυντικού
**χρημάτων**: αιτιατική ενικού και δοτική πληθυντικού
**κλέος**: δοτική ενικού και ονομαστική πληθυντικού
**ἀνδρί**: κλητική ενικού και δοτική πληθυντικού

**(5 μονάδες)**

**Β)γνόντες**: Να κλίνετε την προστακτική και να γράψετε το απαρέμφατο του χρόνου στον οποίο βρίσκεται η μετοχή (στην ίδια φωνή).
**εἴχοντο**: Να γράψετε το ίδιο πρόσωπο σε όλες τις εγκλίσεις του αορίστου.
**ποιεῖσθαι**: Να κλίνετε την οριστική παρατατικού στην ίδια φωνή.

**(5 μονάδες)**

**7)** Να χαρακτηρίσετε συντακτικά τις λέξεις του κειμένου: **νομίζοντες** (§3), **ὄντες** (§3), **Ἑλλήνων** (§4), **εἴκοσι καί ἑκατόν** (§4), **πολεμεῖν** (§4).

**(5 μονάδες)**

**8)** Να χαρακτηρίσετε συντακτικά την πρόταση: **«εἰ παραδοῖεν Κορινθίοις την πόλιν ὡς οἰκισταῖς»** (§1).

**(5 μονάδες)**

**9)** Να βρείτε τη λέξη των παραγράφων 1-2, από την οποία προέρχεται καθεμιά από τις παρακάτω λέξεις: **προσποίηση, δέηση, κάτοχος, ενδεικτικός, είδωλο.**

**(5 μονάδες)**

**10)** Να γράψετε από 2 παράγωγες λέξεις για καθένα από τα ακόλουθα ρήματα: **ἔχω, δείκνυμι, ἄρχω.**

**(5 μονάδες)**

**ΚΑΛΗ ΕΠΙΤΥΧΙΑ!!!**